οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδὲν
ὥσπερ ὁ θεράπων μου Ιωβ.
8 νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς
καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ιωβ,
καὶ ποιήσει κάρπωσιν περὶ ὑμῶν·
Ιωβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν,
※ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήμψομαι·↙
εἰ μὴ γὰρ δι᾿ αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς·
οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ιωβ. —
9 ἐπορεύθη δὲ Ελιφας ὁ Θαιμανίτης καὶ Βαλδαδ ὁ Σαυχίτης
καὶ Σωφαρ ὁ Μιναῖος
καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ κύριος,
καὶ ἔλυσεν τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ιωβ.
10 ὁ δὲ κύριος ηὔξησεν τὸν Ιωβ·
εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν·
ἔδωκεν δὲ ὁ κύριος διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ιωβ εἰς διπλασιασμόν.
11 ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ
πάντα τὰ συμβεβηκότα αὐτῷ
καὶ ἦλθον πρὸς αὐτὸν
καὶ πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου·
φαγόντες δὲ καὶ πιόντες παρ᾿ αὐτῷ παρεκάλεσαν αὐτόν,
καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν, οἷς ἐπήγαγεν αὐτῷ ὁ κύριος·
ἔδωκεν δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν καὶ τετράδραχμον χρυσοῦν ἄσημον.
12 ὁ δὲ κύριος εὐλόγησεν τὰ ἔσχατα Ιωβ ἢ τὰ ἔμπροσθεν·
ἦν δὲ τὰ κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια,
κάμηλοι ἑξακισχίλιαι,
ζεύγη βοῶν χίλια,
ὄνοι θήλειαι νομάδες χίλιαι.
13 γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς·
14 καὶ ἐκάλεσεν τὴν μὲν πρώτην Ἡμέραν,

$8^1$ νυν δε] και νυν AV†: cf. 3 12 | $8^2$ θεραπ.] παιδα AV†: cf. 1 $8^2$ | $8^3$ καρπωσιν] -πωσεις BSV(-σις)†, -πωμα A† | $8^4$ μου > S*† | $8^6$ ει μη γαρ] και ει μη AV† | $8^7$ αληθες / κατα τ. θ. μου ιωβ] tr. B†; κατα τ. θ. μου ιωβ ουδεν αληθες V†: item nisi αγαθον pro αληθες A† ‖ $9^1$ επορευθησαν AV† | ελιφας: cf. 7 | $9^2$ εποι.] + εαυτοις AV† | αυτοις] -τω S*† | $9^3$ αυτοις] -των S*ACV† ‖ $10^2$ και > AV† | αυτου $2^0$ > BS† | $10^3$ εδωκεν] προσεθηκεν AV†: = 𝔐 | δε > S*† | διπλα — ιωβ] τω ιωβ τα διπλα ων ειχεν εμπροσθεν AV† ‖ $11^4$ και παντες] + δε A† | εκ πρωτου] προ τουτου AV† | $11^6$ κυριος] θεος S*† | $11^7$ εδωκεν δε] και(cf. 3 12) εδωκαν AV† | χρυσου και ασημου B† ‖ $12^1$ τα εσχ. ιωβ η] τον ιωβ τα εσχατα μαλλον η AV†